ἡττηθέντα ὑπο Φιλοκλέους, ὥς φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ ΠΡΟΤΕΡΟΝ, οὐ ΤΥΡΑΝΝΟΝ, αὐτὸν[1] ἐπιγράφοντες διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς ΤΥΡΑΝΝΟΥΣ προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τους Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ο σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ καὶ οὐ τύραννον· (Ὀδυσσ. 18, 85.)

εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.

προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν·[2] χαλεποὺς γάρ τινας περὶ ληστείαν τούτους γενέσθαι. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον. οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας[3] προσαγορεύεσθαι· εὐφημότερον γὰρ[4] ἐκεῖνο τοὔνομα.

## ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. τὸ κεφάλαιον δὲ τοῦ δράματος γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος πήρωσίς τε τῶν ὀφθαλμῶν καὶ δι' ἀγχόνης θάνατος Ἰοκάστης.

---

## ΧΡΗΣΜΟΣ Ο ΔΟΘΕΙΣ ΛΑΙΩι ΤΩι ΘΗΒΑΙΩι.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.[5]
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
σοῦ παιδὸς[6] χείρεσσι λιπεῖν φάος· ὣς γὰρ ἔνευσε

1) αὐτὸν ante ἐπιγράφοντες in L. J.
2) τυρσηνῶν L. pr. et J.
3) V. Arist. Pol. III. 11.
4) γὰρ L. G. J. δὲ R. γ' vulg.
5) αἰτεῖς; in Ald.
6) παιδὸς ἑοῦ in Arg. Eur. Phoen. Br.